τὸ αὐτὸ συμβέβηκεν· δυσκίνητοι γάρ εἰσι καὶ δυσμετά- B βλητοι πρὸς τὰς ἀντιλήψεις τῶν ποιοτήτων, ἂν μὴ κατάκοροι καὶ σφοδραὶ προσπέσωσιν. αἰτία δ' ἡ τῆς ἕξεως ἄνεσις· ἐκλυομένη γὰρ καὶ ἀτονοῦσα πλήττεσθαι φιλεῖ. διὸ τῇ τε γεύσει μάλιστα τοὺς δηκτικοὺς προσίενται χυμούς, ἥ τ' ὄσφρησις αὐτῶν ὅμοια πέπονθε πρὸς τὰς ὀσμάς, κινεῖται γὰρ ὑπὸ τῶν ἀκράτων ⟨καὶ σφοδρῶν⟩ ἥδιον· ἡ δ' ἁφὴ ⟨πρὸς⟩ τὰ ἕλκη δυσπα⟨θής⟩, τραύματα γὰρ ⟨ἐνίοτε⟩ λαμβάνοντες ⟨οὐ μάλ⟩α πονοῦσιν· ὁ⟨μοιό⟩τατον δὲ γίνεται ⟨τὸ⟩ τῆς ἀκοῆς, οἱ γὰρ μουσικοὶ γηρῶντες ὀξύτερον ἁρμόζονται καὶ σκληρότερον οἷον ὑπὸ πληγῆς [καὶ] τῆς συντόνου φωνῆς ἐγείροντες τὸ αἰσθητή- C ριον. ὅ τι γὰρ σιδήρῳ πρὸς ἀκμὴν στόμωμα, τοῦτο σώματι πνεῦμα παρέχει πρὸς αἴσθησιν· ἐνδόντος δὲ τούτου καὶ χαλάσαντος, ἀργὸν ἀπολείπεται καὶ γεῶδες τὸ αἰσθητήριον καὶ σφοδροῦ τοῦ νύττοντος, οἷον ὁ ἄκρατός ἐστι, δεόμενον.

## ΠΡΟΒΛΗΜΑ Η

*Διὰ τί τὰ γράμματα πόρρωθεν οἱ πρεσβύτεροι μᾶλλον ἀναγινώσκουσιν*

Collocuntur Lamprias, Plutarchus, alii

**1.** *Ταῦτα* δ' ἡμῶν εἰς τὸ προκείμενον εὑρησιλογούντων ἐδόκει τὸ τῆς ὄψεως ἀντιπίπτειν. οἱ γὰρ πρεσβύτεροι D πόρρω τὰ γράμματα τῶν ὀμμάτων ἀπάγοντες ἀναγινώσκουσιν, ἐγγύθεν δ' οὐ δύνανται· καὶ τοῦτο παραδηλῶν ὁ Αἰσχύλος φησίν (fr. 358)·

῾οὐδὲ ἀπὸ . . . αὐτόν· οὐ γὰρ ἐγγύθεν
. . . γέρων δὲ γραμματεὺς γενοῦ σαφής᾽·